Scholia on Aeschylus, Prometheus and Other Plays: Eumenides by Aeschylus Scholia

ΕΥΜΕΝΙΔΕΣ.

15 τιμαλφεῖ ἣν τιμᾷ.

22 Κωρυκὶς πέτρα πέτραν φησὶ κοίλην τὸν Παρνασσόν. διὰ τὸ εἶναι δὲ κοῖλον ὄρος λέγεται ἐκεῖ ἀναστρέφεσθαι τοὺς δαίμονας καὶ διὰ τὸ ἄοικον εἶναι.

26 λαγὼ δίκην ἤγουν λαγοὶ δειλοί εἰσιν. φησὶν οὖν αὐτὸν λαγωοῦ δίκην ὑποπτήξαντα μὴ ἀντιστῆναι τοῖς πολεμοῦσιν αὐτῷ.

38 δείσασα γὰρ τὰ δεινὰ δείσασα ἐξέπεμψέ με τοῦ μαντείου. ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινύας κοιμωμένας ἕξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ νεώ.

40 ὁρῷ δ' ἐπ' ὀμφαλῷ μὲν ἐμφαντικῶς παρίστησι τὸν νεωστὶ αὐθεντηκότα, οἱονεὶ τὸν φονεύσαντα· αὐθέντης γὰρ λέγεται ὁ φονευτής.

41 προστρόπαιον ἱκετεύοντα.

45 ἀργῆτι λευκῷ.

47 εὕδει καθεύδει.

48 ἀλλὰ Γοργόνας πρὸς τὸ φοβερὸν τῆς ὄψεως φησὶ Γοργείοισι· καὶ γὰρ τὰς Γοργόνας λέγουσι δείματα φέρειν τοῖς ἀνθρώποις. τὸ δὲ ὅλον εἶδον, φησὶν, αὐτὰς ἐν γραφῇ πτερωτὰς, ἀλλ' οὐχ ἁρπακτικάς.

52 βδελύκτροποι ἃς ἰδών τις, φησὶ, βδελύξαιτο καὶ τραπείη μισήσας αὐτὰς ὡς δυσειδεῖς· ἀπὸ γὰρ ὀμμάτων αὐτῶν λείβουσι σταλαγμὸν αἱματηρόν.

57 τὸ φῦλον τὸ γένος. οὐδέποτε, φησὶ, τοιοῦτον γένος εἶδον, μηδὲ ἴδοιμι.

59 τρέφουσ' ἀνατεὶ ἄλλος ἄτης.

60 τἀντεῦθεν ὥστε, φησὶν, εἰ θεραπείας χρεία αὐτῷ, μελέσθω τῷ Ἀπόλλωνι· καὶ γὰρ εἰ θεραπείας χρεία, αὐτός ἐστιν ἰατρός· εἰ δὲ μαντείας, πάλιν

αὐτός ἐστι τερασκόπος.

85 μὴ ἀδικεῖν συνίζησις, ὡσαύτως δὲ καὶ τὸ μὴ ἀμελεῖν.

92 σέβει τοι τοῦτο διὰ μέσου.

98 ἀλῶμαι πλανῶμαι.

99 ἔχω μεγίστην αἰτίαν σφαγεῖσα, φησὶν, αἰτιῶμαι παρ᾽ ἐκείνων ὡς ὑπὸ τοῦ Ὀρέστου τοῦ ἡμετέρου υἱοῦ ἀνῃρέθην.

101 μηνίεται ὀργίζεται.

110 πατούμενα ἀνατετραμμένα.

112 ἀρκυστάτων δικτύων.

122 φονεὺς δ᾽ Ὀρέστης ὁ μὲν Ὀρέστης, φησὶν, οἴχεται Ἀθήναζε πυθόμενος, αἱ δὲ Ἐρινύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγῳδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος, ἵνα διὰ τούτου ἐμφανὲς γένηται τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν.

131 κλαγγαίνεις βοᾷς.

135 ἄλγησον ἦπαρ οὕτως ἄλγησον ὡς μαστιζόμενος.

152 τοκεῦσιν πικρὸν συλληπτικῶς χρὴ λέγεσθαι τὸν μητραλοίαν.

171 παρὰ νόμων ἔξω νόμων. τίων τιμῶν.

172 παλαιγενεῖς ἡμᾶς δηλονότι, ὅσον τὸ ἐπὶ σοὶ ἀναιρήσας καὶ φονεύσας.

175 ὑπαί τε γᾶν ὑπὸ γῆν.

176 ποτιτρόπαιος προστρόπαιος, ἱκέτης.

180 χωρεῖτε τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, ἑξῆς δὲ πρὸς μίαν ἀποδίδοται.

181 πτηνὸν ταχύν. ἀργηστὴν λευκόν. ὄφιν βέλος.

206 τὰς προπομποὺς τοῦτο κατ᾽ ἀκκισμὸν εἴρηται, ὃ φασὶν ἰδίωμα, τὰς διωκτρίας προπομποὺς εἰποῦσαι· ἀκκίζειν γὰρ, φασὶ, τὸ πὰς γυναῖκας ἰδιωματεύεσθαι καὶ σεμνολογεῖν.

207 μολεῖν ὑμᾶς δηλονότι.

229 λέγῃ ὀνομάζῃ.

294 τίθησιν ὀρθὸν καταβάλλει γὰρ ἢ ὀρθοῖ.

311 ἐπινωμᾷ στάσις ἐπισκοπεῖ. στάσις δὲ τὸ σύστημα.

326 ματρῷον μητρώιον. ἔστι δὲ συνίζησις.

835 γαμηλίου τέλους τοῦ γάμου.

---

https://eulogikon.org/works/aeschylus-scholia-text-eumenides-5-tro-ay · eul_wid tro-ay · Diogenes Lab reading page a7d935671dee